UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

Origenes

Coloniæ, 1685

Ex Origenis Commentariis In Acta Apostolorum E quarta Homilia in Acta Apostolorum. Interprete Johanne Tarino.

urn:nbn:de:hbz:466:1-79869

Visual Library

ſeculo ante futurum. Sed hoc per inter- A
vallum ſit dictum in id de quo agimus. At vero Diſcipulis volentibus ſequi Ieſum, non ut ſimpliciores rentur corporaliter, ſed ut ſignificat illud: *Qui non tulerit crucem ſuam, & me ſubſequutus fuerit, non eſt dignus meus eſſe Diſcipulus,* inquit nunc Dominus: *Quo ego abeo, vos non poteſtis nunc ſequi.* Nam etiam ſi ſequi volebant Verbum Dei Filium, & confiteri eum non offenſi cauſa ipſius, nondum poterant tamen hoc facere: *Nondum enim erat Spiritus, quod nondum eſſet* B
Ieſus glorificatus; Et nullus poteſt dicere, Dominus Ieſus, niſi in Spiritu ſancto. Cæterum abit λόγος [id eſt, Filius Dei] pergens ad ſua itinera, quem quidem ſequitur qui λόγον, [hoc eſt rationem] ſequitur: non poteſt vero ſequi, qui ſeipſum non præparaverit pro dignitate illius ad ſuum ipſius Patrem, adducentis eos qui nihil non agunt, ut poſſint illum ſequi: & ſequuntur eum, donec, ut Chriſto dignum eſt, dicant: *Adhæſit anima mea poſt te.* Verum cum ſecundus & trigeſimus tomus Explanationum in C
Evangelium à Iohanne traditum ſufficientem ſcriptionem acceperit, illius ſermonem hic finiemus.

Matth. 10. 38. — Ioh. 7. 39. — 2. Cor. 12. 3. — Pſ. 62, 9.

σιλεία τοῦ θεοῦ· ἀλλὰ τοῦτο μὲν διὰ μέσου ἐν παρεκβάσει εἰς τὸ προειρημένον εἰρήσθω· τοῖς δὲ μαθηταῖς ἀκολουθεῖν βουλομένοις τῷ Ἰησοῦ, οὐχ ὡς ἂν οἱ ἁπλούστεροι ὑπολάβοιεν σωματικῶς ἀλλ᾽ ὡς δηλοῖ τό· ὃς ἂν μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσει ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος εἶναι μαθητής, φησὶ νῦν ὁ κύριος ὅτι, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ἄρτι· εἰ γὰρ ἐβούλοντο ἀκολουθεῖν τῷ λόγῳ, καὶ ὁμολογεῖν αὐτὸν μὴ σκανδαλιζόμενοι ἐν αὐτῷ, ἀλλ᾽ οὐκ ἐδύναντό πω τοῦτο ποιεῖν· οὔπω γὰρ ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη, καὶ οὐδεὶς δύναται εἰπεῖν, κύριος Ἰησοῦς, εἰ μὴ ἐν πνεύματι ἁγίῳ· ἄπεισι δὲ ὁ λόγος τὰς ἑαυτοῦ πορείας, καὶ ἀκολουθεῖ μὲν αὐτῷ ὁ λόγῳ ἑπόμενος· οὐ δύναται δὲ ἀκολουθεῖν ὁ μὴ εὐτρεπισμένος ὡς εὐτόνως κατ᾽ ἴχνη βαίνειν τοῦ λόγου ὁδηγοῦντος πρὸς τὸν ἑαυτοῦ πατέρα τοὺς πάντα πράττοντας, ἵνα καὶ δύνωνται αὐτῷ ἕπεσθαι, καὶ ἀκολουθῶσιν αὐτῷ, ἕως εἴπωσι τῷ Χριστῷ· ἐκολλήθη ὀπίσω σου ἡ ψυχή μου· αὐτάρκη δὲ περιγραφὴν εἰληφότος τοῦ λβʹ τόμου τῶν εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἐξηγητικῶν, αὐτοῦ που καταπαυσόμεθα τὸν λόγον·

Ambroſius idem Lectori S.

Lector amice; Scito me in hoc libro vertendo ſumma uſum eſſe fide, ac diligentia, ut nihil protſus ſit immutatum ab eo, quod ſcribit Author. Scito præterea me nihil in hoc inveniſſe libro, quod videatur decretis ſanctæ matris Eccleſiæ adverſari; nam ſi inveniſſem, aut librum non vertiſſem, aut locum ſignaſſem ſuſpectum. Tamen omnia judicio ſubjecta eſſe velim ſanctiſſimæ matris Eccleſiæ, & quilibet caute & cum judicio legat.

EX ORIGENIS COMMENTARIIS IN ACTA APOSTOLORUM

E quarta Homilia in Acta Apoſtolorum.

ΕΚ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Ἐκ τῆς εἰς τὰς πράξεις ὁμιλίας δʹ.

Interprete JOHANNE TARINO.

Act. 1, 16. *Oportebat impleri quod prædixerat Spiritus ſanctus per os David de Iuda.* In D
quo Pſalmo de Iudâ ſcriptum eſt. Dixerit fortaſſe quiſpiam Spiritum S. non
Pſ. 108, 2. loqui, Servatoris enim ſermo eſt: *Deus, laudē meam ne reticueris, quia os peccatoris*

Ἔδει πληρωθῆναι τὴν γραφὴν ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα· ἐν ᾧ ψαλμῷ τὰ περὶ τοῦ Ἰούδα γέγραπται· εἴποι τις ἂν ὅτι οὐ τὸ πνεῦμα τὸ ἅγιον λαλεῖ· σαφῶς γὰρ τοῦ σωτῆρος * εἰσιν οἱ λόγοι

* γρ. ὁ λόγος

λόγοι λέγοντος· ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς. ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη, καὶ τὰ ἑξῆς, ἕως· καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος· πῶς οὖν εἰ ὁ σωτήρ ἐστιν ὁ ταῦτα λέγων, φησὶν ὁ Πέτρος· ἔδει πληρωθῆναι τὴν γραφὴν ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβίδ; μήποτε οὖν ὃ διδασκόμεθα ἐνταῦθα, τοιοῦτόν ἐστι; προσωποποιεῖ τὸ πνεῦμα τὸ ἅγιον ἐν τοῖς προφήταις, καὶ ἐὰν προσωποποιήσῃ τὸν θεόν, οὐκ ἔστιν ὁ θεὸς ὁ λαλῶν, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ἐκ προσώπου τοῦ θεοῦ λαλεῖ· καὶ ἐὰν προσωποποιήσῃ τὸν * χριστόν, οὐκ ἔστιν ὁ χριστὸς ὁ λαλῶν, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ἐκ προσώπου τοῦ χριστοῦ λαλεῖ· οὕτω κἂν προσωποποιήσῃ τὸν προφήτην, ἢ τὸν λαὸν ἐκεῖνον, ἢ τὸν λαὸν τοῦτον, ἢ ὅ, τι δήποτε προσωποποιεῖ, τὸ ἅγιον * πνεῦμά ἐστι τὸ πάντα προσωποποιοῦν·

* γρ. θεόν

* γρ. πνεύματι

A & os fraudulenti in me apertum eſt: & quæ deinceps uſque ad ea verba: *& Epiſcopatum ejus accipiat alter.* Quomodo igitur ſi Servator eſt qui hæc dicit, ait Petrus: *Oportebat impleri Scripturam, quam prædixerat Spiritus per os David?* Num igitur, quod hic docemur tale eſt? perſonas fingit Spiritus ſanctus in Prophetis: & ſi perſonam induxerit Dei, non eſt Deus qui loquitur, ſed Spiritus ſanctus ex perſona Dei loquitur. Si Chriſtum induxerit, non eſt B Chriſtus qui loquitur, ſed Spiritus ſanctus ex perſona Chriſti loquitur. Ita & ſi perſonam Prophetæ exhibuerit, vel hujus aut illius populi, quamcunque tandem perſonam introducit, Spiritus ſanctus eſt, qui omnes illas perſonas fingit.

Pſ. 108, 8

ΕΚ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΡΙΣΤΟΛΗΝ,

Ἐκ τοῦ α΄ τόμου τῶν εἰς τὴν πρὸς ῥωμαίους ἐξηγητικῶν· εἰς τὸ· ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ·

EX ORIGENIS COMMENTARIIS IN EPISTOLAM AD ROMANOS.

Ex libro primo commentariorum in Epiſtolam ad Romanos, ad ea verba: Segregatus in Evangelium Dei.

Eodem Interprete.

Τρίτον ἐστὶν ἰδεῖν τὸ· ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ· καὶ ἐν τῇ πρὸς Γαλάτας ὁ ἀπόστολος περὶ αὐτοῦ τοιαῦτά φησιν· ὅτε δὲ * ηὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί· ὑπολαμβάνονται δὲ τῶν τοιούτων λέξεων οἱ μὴ συνιέντες * τὸ ἐκ προγνώσεως θεοῦ προορισμόν, αἴτιον τυγχάνοντα τοῦ γίνεσθαι τὰ προεγνωσμένα· καὶ οἴονται διὰ τούτων εἰσάγειν τοὺς ἐκ κατασκευῆς καὶ φύσεως σωζομένους· τινὲς δὲ καὶ τὸ ἐφ' ἡμῖν ἐκ τῶν τοιούτων ἀναιροῦσι ῥητῶν, συγχρώμενοι καὶ τῷ· ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐν ψαλμοῖς εἰρημένῳ· πρὸς μὲν οὖν τοῦτο ἐστὶν ἀπαντῆσαι ἐρωτῶντας περὶ τῆς ἑξῆς λέξεως γέγραπται γάρ, ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας. ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ· θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως· καὶ πευσόμεθά γε τῶν ὡς * σαφεῖ τῇ λέξει ἐπιβαινόντων· εἰ οἱ ἀπαλλοτριωθέντες ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἅμα τῷ ἐξελθεῖν ἀπὸ γαστρὸς τῆς μητρὸς αὐτῶν, ἐπλανήθησαν, καὶ τῆς σωζούσης ὁδοῦ ἐσφάλησαν, αὐτοὶ εἰς τοῦτο ἐνεργήσαντες· πῶς δὲ οἱ ἀπαλλοτριωθέντες ἁμαρτωλοὶ ἀπὸ

* γρ. ηὐδόκησεν ὁ θεός

* γρ. τὸν als. τὸν ἐκ προγνώσεως θεοῦ προωρισμένον

* γρ. ἀσαφεῖ

C TERTIO loco examinandum eſt illud: *Segregatus in Evangelium Dei:* Rom. 1, 1.
& in ea ad Galatas hæc de ſe prædicat Apoſtolus: *Cum vero placuit ei, qui me ſegregavit ab utero matris meæ, ut declararetur Filius in me.* Gal. 1, 15. 16 Quæ verba, qui prænotionem non intelligunt, ſic interpretantur, quaſi præfinitio cauſa ſit, cur eveniant, quæ prænota ſunt; ob eamque rem quoſdam ex natura & conditione ſua ſalvos introducunt. Nonnulli ex illis verbis libertatem nobis arbitrii adimunt, quibus id ex Pſalmis ad- D dunt: *Abalienati ſunt peccatores ab utero matris:* Pſ. 57, 4. cui cum interrogatione occurrere licet, ſcriptum enim eſt: *Abalienati ſunt peccatores ab utero, deerraverunt à ventre matris, falſa locuti ſunt, animus ipſis ad ſimilitudinem ſerpentis.* Pſ. 57, 4. 5. Et quæremus ab iis, qui verba illa tanquam aperta accipiunt, an qui abalienati ſunt ab utero peccatores, ſimulac materno utero egreſſi ſunt, deerraverint, & à via ſalutis ſuo aliquo facto abducti ſint. Quomodo verò abalienati ab utero pecca-